# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: oba-aa


*Ἄγνωστος [Διηγήματος] Ἔργον* · Narrative Fiction Work Anonymous

# Ninus Fragments A–B

*Νίνου Ἀποσπάσματα Α–Β*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine
**Domain:** *Μυθιστορία* Fiction
**Format:** *Πεζός* Prose

A [ ............ ]πλουσε [ .. ]νον [ ............ ]αρεστιπο ... [ ...... ὁ Νίνος] ὁ σφόδρα ἐρῶν [ ............ ]ομενον . [ . ] . χα[ριέστατον δὲ] ὑπολαμβ[άν]ων [αὐτὸν τὸν κίν]δυνον, ἐν ὧι [τοῦ τάχα τυχεῖ]ν τῆς εὐχ[ῆ]ς ἀ[γαθήν γε εἶχεν] ἐλπίδα· [ἐδ]ά[κρυε δὲ ἡ κόρη] πολὺ καὶ ἡ συνή[θης ταῖς γυναι]ξὶν αἰδὼς ἀ[π]ε[στέρησεν αὐτὴ]ν θάρσος· ὁ δὲ [Νίνος εὐθὺς γαμ]εῖν ἐβούλετο [ἄλλα τ' ἐννοηθ]εὶς καὶ ταῦτα, [ὅτι ἐγγὺς οὐ]κ ἦσαν τῶν ἀ[ρχ]αι[οτάτων αὐτ]ῶν γονέων ἀ[ξι[ούντων πόρρ]ω πλανήσεσθαι [τὸν νύμφιον] χρόνους, ἐν οἷς [αὐτὸν ἀδιάφθ]ορον καὶ ἀπεί[ρατον ἀφροδίτ]ης φυλάξειν [αὐτῆι διομω]μόκει• ἀπίθα[νον δὲ ἐκ τῆ]ς φυλακῆ[ς] τὸν [υἱὸν τὸ λοιπὸν] γενήσεσθαι [τοῖς γονεῦσι πρ]ὸς τ[ὴ]ν ἀναβο[λὴν τῶν γάμων·] ἀλλ' ἀδεῶς [ἐμμεῖναι (πάν]τα μὲν δουλῶ[σαι τέως καὶ] λέγοντα καὶ [πράττοντα). ἀλλ' οἱ] μὲν οὐδὲ τό[τε αὐτοῖς τἀληθ]ῆ ὑπέμειναν [ὁμολογεῖν τὸ] αὐτὸ βουλόμε[νοι τοῦ ἔρωτος] τὴν πεῖραν. [ἔτι δ' οὔτε ὁ Νίνο]ς ἀνήνεγκεν * [τὴν σιωπὴν οὔ]τε ἡ παῖς ἐτόλ[μα λαλεῖν· ἐβούλο]ντο δὲ τοὺς [πενθεροὺς πεῖσαι· ἐ]θάρρουν γὰρ ἀμ[φότεροι τ]ὰς τηθίδας μᾶλ[λον ἢ τὰς ἰδίας μ]ητέρας• ὁ [μὲν οὖν Νίνος π]ρὸς τὴν Δερ[κείαν ἀφικόμε]νος· Ὦ μῆτερ, εἶπεν, εὐορκήσας ἀφῖγμαι καὶ εἰς τὴν σὴν ὄψιν καὶ εἰς τὰς περιβολὰς τῆς ἐμοὶ τερπνοτάτης ἀνεψιᾶς • καὶ τοῦτο ἴστωσαν μὲν οἱ θεοὶ πρῶτον, ὥσπερ δὴ καὶ ἴσασιν • τεκμηριώσομαι δὲ κἀγὼ τάχα καὶ τῶι νῦν λόγωι· διελθὼν γὰρ τοσαύτην γῆν καὶ τοσούτων δεσπόσας ἐθνῶν ἢ δορικτήτων ἢ π[α]τρώιωι κράτει θεραπευόντων με καὶ προσκυνούντων ἐδυνάμην εἰς κόρον ἐκπλῆσαι πᾶσαν ἀπόλαυσιν• ἦν τε ἄν μοι τοῦτο ποιήσαντι δι' ἐλάττονος ⟦ ο ⟧ ἴσως ἡ ἀνεψιὰ πόθου • νῦν δὲ ἀδιάφθορος ἐληλυθὼς ὑπ[ὸ τοῦ θεοῦ νικῶμαι καὶ ὑπὸ τῆς ἡλικίας• ἑπτακαιδέκατον ἔτος ἄγω καθάπερ οἶσθας καὶ ἐνεκρίθην μὲν εἰς ἄνδρας ἤδη πρὸ ἐνιαυτοῦ• παῖς δὲ ἄχρι νῦν εἰμι νήπιος• καὶ εἰ μὲν οὐκ ἠισθανόμην ἀφροδίτης, μακάριος ἂν ἦν τῆς στερρότητος • νῦν δὲ [τ]ῆς ὑμετέρας θυγατρὸς οὐκ [α]ἰσχρῶ 〈σ〉 ἀλλὰ ὑμῶν ἐθελησάντ[ων αἰχμάλωτος ἄχρι τίνος ἑαλωκὼς ἀρνήσομαι• καὶ ὅτι μὲν οἱ ταύτης τῆς ἡλικίας ἄνδρες ἱκανοὶ γαμεῖν δῆλον • πόσοι γὰρ ἄχρι πεντεκαίδεκα ἐφυλάχθησαν ἐτῶν ἀδιάφθοροι; νόμος δὲ βλάπτει με οὐ γεγραμμένος, ἄλλως δὲ ἔθει φλυάρωι πληρούμενος, ἐπειδὴ παρ' ἡμῖν πεντεκαίδεκα ὡς ἐπὶ τὸ πλεῖστον ἐτῶν γαμοῦνται παρθένοι• ὅτι δὲ ἡ φύσις τῶν τοιούτων συνόδων κάλλιστός ἐστι νόμος, τίς ἂν εὖ φρονῶν ἀντείποι; τετρακαίδεκα ἐτῶν κυοφοροῦσιν γυναῖκες καί τινες νὴ Δία καὶ τίκτουσιν• ἡ δὲ σὴ θυγάτηρ οὐδὲ γαμήσεται; δύ' ἔτη περιμείνωμεν, εἴποις ἄν· ἐκδεχώμεθα, μῆτερ, εἰ καὶ ἡ Τύχη περιμένει• θνητὸ[ς] δὲ ἀνὴρ θνητὴν ἡρμοσάμην παρθένον• καὶ οὐδὲ τοῖς κοινοῖς τούτοις ὑπεύθυ]νός εἰμι μόνον, νόσοις λέγ]ω καὶ

Τύχηι πολλάκις καὶ τοὺς ἐπ]ὶ τῆς οἰκείας ἑστίας ἠρεμοῦντας ἀναιρούσηι• ἀλλὰ ναυτιλίαι μ’ ἐκδέχονται καὶ ἐκ πολέμων πόλεμοι καὶ οὐδὲ ἄτολμος ἐγὼ καὶ βοηθὸν ἀσφαλείας δειλίαν προκαλυπτόμενος, ἀλλ’ οἷον [ο]ἶσθας, ἵνα μὴ φορτικὸς ὦ{ι} λ[έ]γων• σπευσάτω δὴ ἡ βασιλεία, σπευσάτω δὴ ἡ ἐπιθυμία, σπευσάτω τὸ ἀστάθμητον καὶ ἀτέκμαρτον τῶν ἐκδεχομένων με χρόνων, προλαβέτω τι καὶ φθήτω καὶ τὸ μονογενὲς ἡμῶν ἀμφοτέρων, ἵνα κἂν ἄλλως ἡ Τύχη κακόν τι βουλεύηται περὶ ἡμῶν καταλείπωμεν ὑμῖν ἐνέχυρα.

A (100) ἀναιδῆ τάχα με ἐρεῖς περὶ τούτων διαλεγόμενον· ἐγὼ δὲ ἀναιδὴς ἂν ἤμην λάθραι πειρῶν καὶ κλεπτομένην ἀπόλαυσιν ἁρπάζων καὶ νυκτὶ καὶ μέθηι καὶ θεράποντι καὶ τιθηνῶι κοινούμενος τὸ πάθος• οὐκ ἀναιδὴς δὲ μητρὶ περὶ γάμων θυγατρὸς εὐκταίων διαλεγόμενος καὶ ἀπαιτῶν, ἃ ἔδωκας, καὶ δεόμενος τὰς κοινὰς τῆς [ο]ἰκίας καὶ τῆς βασιλείας ἁπάσης εὐχὰς μὴ εἰς τοῦτον ἀναβάλλεσθαι τὸν καιρόν, ὃς ἐφ’ ὑμῖν οὐκ ἔσ[τ]αι •‘ Ταῦτα πρὸς βουλομένην ἔλεγε τὴν Δερκείαν καὶ τάχ[α] βραδύνας προτέραν ἂν αὐτὴν ἐβιάσατο τοὺς περὶ τούτων ποιήσασθαι λόγους• ἀκκισαμένη δ’ οὖν βραχέα συνηγορήσειν ὑπισχνεῖτο. τῆι κόρηι δ’ ἐν ὁμοίοις πάθεσιν οὐχ ὁμοία παρρησία τῶν λόγων ἦν πρὸς τὴν Θάμβην. ἡ γὰρ παρθέν[ος ἐντὸς τ]ῆς γυναικωνίτιδ[ος ζῶσα] οὐκ εὐπρεπεῖς ἐπο[ίει τοὺς λό]γους αὑτῆς• αἰτ[ουμένη δ]ὲ καιρὸν ἐδάκρυσ[ε καὶ ἐβο]ύλετό τι λέγειν, [πρὶν δ’ ἄρξ]ασθαι ἀπεπαύετο• τ[άχα δὲ μ]έλλησιν αὐτόμ[ατ]ον [σημ]ήνασα λόγου τὰ χείλη μὲν ἂν διῆιρε καὶ ἀνέβλεψεν ὥ[σπερ τ]ι λέξουσα• ἐφθέγγετο δ[ὲ τελε]ίως οὐδέν• κατερρήγνυ[το δὲ] αὐτῆς δάκρυα• καὶ ἠρυ[θαίν]οντο μὲν αἱ παρειαὶ πρὸ[ς τὴν] α[ἰ-] δῶ τῶν λόγων• ἐξ ὑ[πογύου] δὲ πάλιν ἀρχομένης [πειρᾶ-] σθαι λέγειν ὠχραίνο[ντο διὰ] τὸ δέος· μεταξὺ [δ’ ἦν ἐλπίδος] καὶ ἐπιθυμίας καὶ [φόβου καὶ] αἰδοῦς.

A (150) θρασυνομέ[νου μὲν οὖν] τοῦ πάθους, ἀποδεο[ύσης δὲ] τῆς γνώμης ἐκύ[μαινεν ἅμα] καὶ μετ[ὰ] πολλοῦ κ[λόνου· ἡ δὲ Θάμ-] βη τὰ [δάκ]ρυα ταῖς χ[ερσὶν ἀπο-] μάττο[υσα π]ροσέτ[αξε θαρ-] ρεῖν κα[ὶ] ὅτι βούλοιτ[ο διαλέ-] γεσθαι • ὡς δὲ οὐδὲν [ἐλάλει,] ἀλλὰ ὁμοίοις ἡ παρθέ[νος κατεί-] χετο κακοῖς• ‘Ἄπαν[τός, φησιν, ἐ-] μοὶ λόγου κάλλιον ἡ [σὴ σιωπὴ] διαλέγεται. μήτι μέ[μψηι τὸν] ἐμὸν υ[ἱ]όν, • οὐδὲν μὲ[ν ἀπο-] τετόλμηκεν οὐδὲ θ[ρασὺς ἡ-] μῖν ἀπὸ τῶν κατορθω[μάτων] καὶ τροπαίων ἐπανελ[ηλυθὼς] ὡς [πο]λεμιστὴς πεπα[ρώινη-] κεν εἰς σέ• (τάχα δὲ κ[οὐκ ἂν ἐσι-] ώπας τοιούτου γενομ[ένου), ἀλλὰ] βραδὺς ὁ νόμος τ[οῖς ἐφω-] ρίοις γάμων• σπεύδει δ’ [οὖν] ὁ ἐμὸς υἱός• οὐδὲ διὰ τ[οῦτ’ εἰ] κλαίεις, βιασθῆναί σε δ[εῖ.‘ Καὶ] ἅμα μ〈ε〉ιδιῶσα περιέβα[λλεν] αὐτὴν καὶ ἠσπάζετο• δ[ι’ αἰδῶ δὲ] φθέγξασθαι μέν τι οὐδ[ὲ τό-] τε ἐτόλμησεν ἡ κόρη, [παλ-] λομένην δὲ τὴν καρδί[αν τοῖς] στέρνοις αὐτῆς προσθε[ῖσα] καὶ λιπαρέστερον κατα[φιλοῦ-] σα τοῖς τε πρότερον δάκ[ρυσι] καὶ τῆι τότε χαρᾶι μονο[νου-] [χ]ὶ καὶ λάλος ἔδοξεν ε[ἶ]να[ι, ὧν] ἐβούλετο• συνῆλθον οὖ[ν αἱ ἀ-] δελφαὶ καὶ προτέρα μὲν [ἡ Δερ-] [κ]εία ‘Περὶ σπουδαίων, ἔφ[η ... ] [ .

B ........ —]οὐ γὰρ ἀπελείφθη [κἀκείνη τ]ῆς μητρὸς ἐν το[σούτωι—ἠκ]ολούθησεν ἀκα[τάπαυστος] καὶ περιερρηγμέ[νος καὶ οὐδ]αμῶς ἱεροπρεπής· [ἔκλαυσε δ]ὲ δακρύων καὶ κο[πτόμενος ἐ]κ τοῦ σχήματος [παντελῶς] εἰρχθεὶς ἅτε με[μηνώς. ἀνα]πηδήσασαν δὲ αὐ[τὴν τῆς κλί]νης καὶ βουλομέ[νην ὀνειδίσ]αι ταῦτα πιέσας [ἐμπαθῶς ταῖς χ]ερσὶν ὁ Νίνος· [‘Ἀλλ’, ἔφη, παρῆν τι]ς εἰπών σοί με [φθορέα παρ]θένων; ἔστω.‘ Κἆι[τα μειδιώσης τ]ῆς μητρὸς καὶ ἡ [γυνὴ κατηφής·] ‘Οὕτως ἀγομέ[νην, ἔφη, ἔχεις κ]αὶ τάχα που κἀγὼ [δηλώσω σαφῶ]ς• οὐ δὴ βούλομαι [τὰ πάντα ἡμ]ῶν μᾶλλον ἢ πρό[τερον κινδ]υνεύεσθαι •‘ ‘Οὐδ’ αὐ[τὸ τοῦτ’ ἔδει]σα μ[ὴ] ὑπονοή[σηις· νῦν δὲ π]ίστις ἔστω• τοῦ [τε λοιποῦ τ]ὰ ὀμοσθέντα τό[τε πέρα τοῦ ὅρ]κου πεπιστεύσθω.‘
[ Διηλλαγμένοι] δὲ πανημέ[ριοι συνῆσαν] ἀλλήλοις, ὅσα μὴ [ἐκ τῶν στρατ]ιωτικῶν ἀφείλ[κοντο οὐδ’ ἐλ]λιπῶς ὁ Ἔρως ἀνερ[ρίπιζεν αὐτοὺς] κόρωι μὲν τὸ [παρὸν τῆς συν]διαιτήσεως ἀμ[βλύνων, ἐτάρατ]τε δ’ εἰς τὰς ἐπι[στάσεις τῆς ἐν χ]ερσὶ διαζεύξε[ως προτρεπό]μενος• οὔπω [γὰρ τοῦ ἔαρος ἀκ]μάζοντος [ ...... ὁ στρατη]γὸς Ἀρμενί[ων ........... ]σον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅση ......... zwei Zeilen verloren. ......... ἀνόπλου συγκροτεῖν τῶν ἐπιχωρίων. δοκοῦν δὴ καὶ τῶι πατρὶ τὸ Ἑλληνικὸν καὶ Καρικὸν ἅπαν σύνταγμα καὶ μυριάδας Ἀσσυρίων ἐπιλέκτους, ἑπτὰ πεζὰς καὶ τρεῖς ἱππέων, ἀναλαβὼν ὁ Νίνος ἐλέφαντάς τε πεντήκοντα πρὸς τοῖς ἑκατὸν ἤλαυνε• καὶ φόβος μὲν ἦν κρυμῶν καὶ χιόνων περὶ τὰς ὀρείους ὑπερβολάς • παραλογώτατα δὲ θῆλυς καὶ πολὺ θερειότερος τῆς ὥρας ἐπιπεσὼν νότος λῦσαί τε ἐδυνήθη τὰς χιόνας [κ]αὶ τ[οῖς ὁδεύ-] ουσιν ἐπεικῆ πέ[ρ]α πά[σης ἐλ-] πίδος τὸν ἀέρα παρασχεῖν• ἐμόχθησαν δὴ [τ]αῖς διαβάσεσιν τῶν ποταμῶν μᾶλλον ἢ ταῖς διὰ τῶν ἀκρωρειῶν πορείαις• καὶ ὀλίγος μέν τις ὑποζυγίων φθόρος καὶ τῆς θεραπείας ἐγένετο• ἀπαθὴς δὲ ἡ στρατιὰ καὶ ἀπ’ αὐτῶν ὧν ἐκινδύνευσε θρασυτέρα κατὰ τῶν πολεμίων διεσέσωστο νενικηκυῖα γὰρ ὁδῶν ἀπορίας καὶ μεγέθη ποταμῶν ὑπερβάλλοντα βραχὺν εἶναι πόνον ὑπελάμβανε μεμηνότας ἑλεῖν Ἀρμενίους• εἰς δὲ τὴν ποταμίαν ἐμβαλὼν ὁ Νίνος καὶ λείαν ἐλασάμενος πολλὴν ἐρυμνὸν περιβάλλεται στρατόπεδον ἔν τινι πεδίωι• δέκα τε ἡμέρας ἀναλαβὼν μάλιστα τοὺς ἐλέφαντας ἐν ταῖς πορείαις ἀποτετρυμένους, ὡς ἐκ[εῖνον ἀκούει] μετὰ πολλῶν ὁ[ρμῶντα μυρι-] άδων, ἐξαγαγὼ[ν τὴν δύνα-] μιν παρατάττε[ι· κατέστησε] δὲ τὴν μὲν ἵππο[ν ἐπὶ τῶν] κεράτων, ψ{ε}ιλοὺ[ς δὲ καὶ γυ-] μνήτας τό τε ἄγ[ημα τὸ βασιλι-] κὸν ἅπαν ἐπὶ τῶ[ν πλαγίων] τῶν ἱππέων• μέ[ση δ’ ἡ πεζικὴ φά-] λαγξ παρέτεινεν. [85]

B (50) [πλὴν ἀλλὰ] οἱ ἐλέφαντες ἱκα[νὸν ἀπ’ ἀλ-] λήλων μεταίχμ[ιον διεστηκό-] τες πυργηδὸν ὡ[πλισμένοι] προεβέβληντο τῆ[ς φάλαγγος.] καθ’ ἕκαστον δὲ α[ὐτῶν ἦν τις] χώρα διεστηκότ[ων τῶν λό-] χων, ὡς, εἴ τί που τα[ραχθείη] θηρίον, ἔχοι διελθ[εῖν τὴν] κατόπιν• οὕτως [γὰρ ἐκεκό-] σμητο ἡ κατ’ ἐκ[εῖνα ἐπίκαι-] ρος τῶν λόχων ἔ[κταξις, ὥστε] ἐπιμῦσαί τε ὁπότ[ε χρεὼν εἴ-] η δύνασθαι καὶ πά[λιν αὖ δια-] στῆναι, τὸ μὲν εἰς [τὴν ὑπο-] δοχὴν τῶν θηρίω[ν, τὸ δ’ εἰς ἀπο-] κώλυσιν τῆς εἰσδρ[ομῆς τῶν] πολεμίων• Τοῦτο[ν οὖν τὸν] τρόπον ὁ Νίνος τὴν [ὅλην παρα-] τάξας δύναμιν ἵππω[ι παρεξε-] λαύνει• καὶ καθάπερ ε[ἰς ἱκεσί-] αν προτείνων τὰς [χεῖρας·] ‘Τὸ θεμέλιον, ἔφη, τ[ά τε κρί-] σιμα τῶν ἐμῶν ἐλπ[ίδων πάρε-] στιν· ἀπὸ τῆσδε τῆς [ἡμέρας] ἢ ἄρξομαί τινος μεί[ζονος γῆς] ἢ πεπαύσομαι καὶ τῆ[ς ἑώιας. [110]

B (100) ] τῶν γὰρ ἐπ’ Αἰγυπτίο[υς μαχῶν] τὰ τῆς ἄλλης πολεμ[ικῆς ..... ‘]

Eulogikon public reading copy · View original HTML at eulogikon.org